των (Rep. 617 b/c) ᾐνίξατο τοῖς τῶν Μοιρῶν ὀνόμασιν τὴν μὲν Ἄτροπον ⟨τὴν δὲ Κλωθὼ⟩ τὴν δὲ Λάχεσιν προσα- C γορεύσας· ἐπεὶ ταῖς γε τῶν ὀκτὼ σφαιρῶν περιφοραῖς Σειρῆνας οὐ Μούσας ἰσαρίθμους ἐπέστησεν.

5. Ὑπολαβὼν δὲ Μενέφυλος ὁ Περιπατητικός ʽτὰ μὲν Δελφῶνʼ εἶπεν ʽἁμωσγέπως μετέχει πιθανότητος· ὁ δὲ Πλάτων ἄτοπος, ταῖς μὲν ἀιδίοις καὶ θείαις περιφοραῖς ἀντὶ τῶν Μουσῶν τὰς Σειρῆνας ἐνιδρύων, οὐ πάνυ φιλανθρώπους οὐδὲ χρηστὰς δαίμονας, τὰς δὲ Μούσας ἢ παραλείπων παντάπασιν ἢ τοῖς τῶν Μοιρῶν ὀνόμασι προσαγορεύων καὶ καλῶν θυγατέρας Ἀνάγκης· ἄμουσον γὰρ ἡ Ἀνάγκη μουσικὸν δʼ ἡ Πειθώ, καὶ Μούσαις † φιλοδαμοῦσα πολὺ μᾶλλον οἶμαι τῆς Ἐμπεδοκλέους (fr. 116) D Χάριτος ʽστυγέει δύστλητον Ἀνάγκηνʼ.ʼ (6.) ʽπάνυ μὲν οὖνʼ ὁ Ἀμμώνιος ἔφη ʽτὴν ἐν ἡμῖν ἀκούσιον αἰτίαν καὶ ἀπροαίρετον· ἡ δʼ ἐν θεοῖς ἀνάγκη δύστλητος οὐκ ἔστʼ, οἶμαι δʼ ⟨οὐδὲ⟩ δυσπειθὴς οὐδὲ βιαία, πλὴν τοῖς κακοῖς, ὥς ἐστι νόμος ἐν πόλει τοῖς βελτίστοις ⟨ὡς⟩ τὸ βέλτιστον αὐτῆς ἀπαρέκτρεπτον καὶ ἀπαράβατον οὐ τῷ [μὲν] ἀδυνάτῳ τῷ δʼ ἀβουλήτῳ τῆς μεταβολῆς. αἵ γε μὲν δὴ Ὁμήρου Σειρῆνες οὐ κατὰ λόγον ἡμᾶς τῷ μύθῳ φοβοῦσιν, ἀλλὰ κἀκεῖνος ὀρθῶς ᾐνίξατο τὴν τῆς μουσικῆς αὐτῶν δύναμιν οὐκ ἀπάνθρωπον οὐδʼ ὀλέθριον οὖσαν ἀλλὰ ταῖς ἐντεῦθεν ἀπιούσαις ἐκεῖ ψυχαῖς, ὡς ἔοικε, καὶ πλανωμέναις E